eul_wid: qea-aa

*Εὔδημος ὁ Ἀργεῖος* · Eudemus of Argos

# On Rhetorical Words

*Περὶ λέξεων ῥητορικῶν*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα τεχνική* Atticizing Technical
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Λόγος* Oration

2a Ἀγαθῶν θάλασσα : ἐπὶ πολλῶν ἀγαθῶν καὶ μεγάλων λέγεται. καὶ ἀγαθῶν πόντος. καὶ ἀγαθῶν σωρός. ἀγαθῶν μυρμηκιά : ἐπὶ πλήθους εὐδαιμονίας. Ἀγαθώνειος αὔλησις : ἡ μήτε χαλαρὰ μήτε πικρά, ἀλλ' εὔκρατος καὶ ἡδίστη, μαλακὴ καὶ ἐκλελυμένη. ἀπὸ Ἀγαθῶν αὐλητοῦ. οὗτος ἀγαθὸς ἦν τὸ πρότερον τὸν τρόπον καὶ ποθεινὸς τοῖς φίλοις, ἐκωμῳδεῖτο δὲ εἰς θηλύτια. ἀγαθήματα μετ' ἄρτων : ἐπὶ τῶν τὰ δευτερά τισι διδόντων. ἀγαθοῦ δαίμονος : ἔθος εἶχον οἱ παλαιοὶ μετὰ τὸν δεῖπνον πίνειν ἀγαθοῦ δαίμονος ἐπιῤῥοφοῦντος ἄκρατον καὶ τοῦτο δὲ τρίτον καὶ ἡμέρας δὲ τὴν δευτέραν τοῦ μηνὸς οὕτως ἐκέλουν. καὶ ἐν Θήβαις ἦν ἡρῷον ἀγαθοῦ δαίμονος. ἀγάρομαι : φθονοῦμαι. ἀγαθικά : σπουδαῖα. ἀγαθὰ Κιλίκων : ἐπὶ τῶν ἀπὸ τῶν οὐ προσηκόντων πλουτούντων. προδότης γάρ τις τῶν Κιλίκων προδοὺς Μίλιτον ηὐπόρησεν. ἀγαθῶν ἀγαθῖδες : ἐπὶ πολλῶν ἀγαθῶν λέγεται. ἀγαθόν : τὸ ἄγαν θείων. ἢ τὸ ἀγαπᾶν τὸν θεόν. καὶ τὸ ταχύ. ἀγάλλει : ποιεῖ. σκευάζει. κοσμεῖ. ἀγάλακτες : ὁμογενεῖς. ὅμαιμοι. ἄλλοι δὲ τοὺς ἱερείων συγγενεῖς καὶ κοινωνούς. οἱ δὲ συντρόφους. ἀγάλλων : ἑαυτὸν σεμνοποιῶν. ἀγαλματοφορούμενος : ἄγαλμα ἤτοι τύπους τῶν νοηθέντων φέρων ἐν ἑαυτῷ.

2b οὐ φιλῶν. ἀγαλματοποιοί : τοῦτ' ἔστι χειρουργοί. ἦσαν δὲ οὗτοι ἀκριβεῖς Λύσιππος, Πολύκλειτος, Φειδίας. ἄγαλμα : πᾶν ἐφ' ᾧ τις ἀγάλλεται. ἀγάλματα δὲ καὶ τῆς γραφὰς καὶ τοὺς ἀνδριάντας λέγουσι καὶ τὸ σέβασμα παρὰ τὸ ἀγάλλω. ἀγαλαίων : ἰδιωτῶν. ῥεμβωδῶν. ἀγέλαστος πέτρα : ἐπὶ τῶν λυπως προξένων. ἐπ' αὐτῆς γὰρ ἐκάθισεν, ὅτε ἐζήτει τὴν κόρην ἡ Δημήτηρ. ἀγάμενος : θαυμάζων. ἄγαμαι καρδίας : Ἀττικῶς ἀντὶ τοῦ θαυμάζω. ἀγαθοεργοί : αἱρετοὶ κατὰ ἀνδραγαθίαν ἐκ τῶν ἐφόρων. ἄγανον : τὸ κατεαγὸς ξύλον. οἱ δὲ τὸ ἀπελέκητον. ἀγανόν : δὲ ὀξυτόνως τὸ καλὸν ἢ τὸ ἀγαθὸν ἢ τὸ ἱλαρόν. οἱ δὲ ἀθάνατον. ἀγανοφροσύνη : προσήνεια. πρᾳότης. ἀγανότερον : ποθεινότερον. πρᾳότερον. ἀγανώπιδος : πρᾴως βλεπούσης. ἀγαπητὰ ἤθη : τὰ καλὰ καὶ ἀγαθά. ἀγαπᾶν : ἀποδέχεσθαι. ἀγαπῶ : ἀρκοῦμαι. ἀγαπητόν : ἠγαπημένον. ἀγαπησμόν : λέγουσι καὶ ἀγάπησιν τὴν φρόνησιν. ἀγάσαιτο : θαυμάσειεν. ἀγασθῶ : θαυμάσω. ἀγασθείς : ἐκπλαγείς. ἀγάστορες : ἀδελφοί. ὅμαιμοι. δίδυμοι. ἄγαυρος : ὁ κομψός. οἱ δὲ ὁ κακός. ὑπὸ Ἰώνων δὲ ἄπορος. ὑπὸ δὲ Ἀττικῶν τρυφερός. ἀγαυνός : ἔνδοξος παρὰ τὸ ἄγω τὸ θαυμάζω, ἄγημαι καὶ ἄγαμαι καὶ πλεονασμῷ τοῦ υ Αἰολικῶς ἀγαυνὸς ὡς ναὸς ναυός. Ἄρατος ἀγῶν ὁ Διόνυσος. ἀγανοῖς : προσηνέσιν ἀπὸ τοῦ ἄγαν αἰνεῖσθαι. ἀγανόφορος: ἀγάνοστος : λίαν στενακτικός.

3

ἀγαστοῦ θανάτου. ἀγαυρίαμα : ἔσπαρμα. ἀγάσματα : σεβάσματα. ἃ ἄν τις ἀγάσαιτο. Σοφοκλῆς. ἄγγαρος : οὕτως ἐκάλουν οἱ Πέρσαι τοῦς βασιλικοὺς ἀγγέλους. ἄγγαρος : ἐργάτης, ἀχθοφόρος. ἀγελεών : ὁ τόπος τῆς ἀγέλης. ἀγοπήνια : τὰ τῶν μελισσῶν κηρία. ἀγγαρεία : ἀνάγκη ἀκούσιος. ἀγγελίαφρος : πρεσβευτής. ἄγγελος : μηνυτής. ἀγγύλη : εἶδος ἀκοντίου. ἀγλευκές : τὸ ἀηδές. ἄγε : φέρε, κόμιζε δεῦρο. ἄγειν καὶ φέρειν : ἄγειν ἀπάγειν ἐπὶ ἐμψύχων, φέρειν ἐπὶ ἀμψύχων. ἀγεννῶς : ἀσθενῶς. ἀνάνδρως. ἀγείρω : συνάγω. συναθροίζω. ἀγελαῖος : ἰδιώτης. ἢ ὁ ἐν ἀγέλῃ διάγων. εὐτελής. ἀγέλαστος πέτρα : ἐπὶ τῶν λύπης προξένων. ἀγέλαστα : τὰ μὴ γήλωτος ἄξια ἀλλ' ἀγανακτήσεως. ἀγελαῖοι ἰχθύες : οἱ εὐτελεῖς καὶ μικροί. καὶ ἀγελαίαστος φυλὴ ἡ εὐτελής. ἀγελαῖα : οὐ γενναῖα. ἀγελιδόν : ἠθροισμένως. ἡνωμένως. ἀγεννία : ἀνανδρία, δειλία. ἀγέραστος : ἄτιμος. ἀγέλαιος δὲ ὁ ἀμαθής. ἀγέρωχος : ἀλαζονικός. ἀγερωχία : ὑπερηφανία γερώσσει : ἀγρυπνοῖ. ἄγετε : τὸ ἡγεῖσθε καὶ οἴεσθε. ἄγευστος : ἄπειρος. ἄγη : χαρά. θαῦμα. ἀπιστία. ζῆλος. ἔνιοι ἱέρεια. παρ' Ἡροδότῳ βασκανία. παρ' Ὁμήρῳ ἔκπληξις· πηγή. θραῦσις. κλαῦσις. ἀπώλεια. ἄγημα : τὸ προιὸν τοῦ βασιλέως τάγμα ἐλεφάντων καὶ ἵππων καὶ πεζῶν. οἱ δὲ τὸ ἄριστον τῆς Μακεδονικῆς συντάξεως. ἀγήνωρ : ἀνδρεῖος.

3b σημαίνει δὲ καὶ τὸν ὑπερήφανον. ἔστι δὲ καὶ κύριον ὄνομα. ἀγήρως : ἡ μὴ γερῶς' ἀλλ' αἰώνιος. ἀγήρω : ἄφαρτον μὴ ἔχουσαν τέλος. ἁγιάσαι : καρπῶσαι. καῦσαι ἁγίως. ἁγιάσατε : προευτρεπίσατε. κηρύξατε. ἁγίζων : ἁγιάζων. ἁγίασμα : ὁ θεῖος ναός. ἀγῆλαι : τιμῆσαι θεόν. κοσμῆσαι. ἀγήλειεν : τιμήσειεν. ἀγηλατεῖν : ἁγηστεύσαντες : τὰ τῆς θυσίας ἐπιτελέσαντες. ἀγκαλίδα : μερίδα. ἀγκῶνας : τὰς ἄκρας τῶν ὀρῶν. ἀγκάσασθαι : τὰς ἀγκάλας βαστάσαι. ἀγκῶνες : ἐπιχώρια δόρατα παρὰ Φράγκοις. ἀγκιστρεύει : δελεάζει. ἄγκιστρον : δέλεαρ. ἄγκος : ὄρος καὶ ἄγκη : τὰ ὄρη καὶ ἄγκεα ἀπὸ τοῦ ἀγκοίνη ἀγκάλη. ἀγκοπηνία : τὰ τῶν μελισσῶν κηρία. ἀγκύλη : εἶδος ἀκοντίου ἀφ' οὗ. ἀγκύλια : οἱ κρίκοι τῶν ἁλύσεων. ἀγκυλομήτης : δολιόβουλος καὶ τὸ διηγγελμένον ἢ ἀγγυλώμενος. ἀγκύλον : σκολιόν. στρεβλόν. ἀγκύρισμα : εἶδος παλαίσματος καὶ ἀγκυρίσας ἀντὶ τοῦ καταπαλαίσας. ἔστι δὲ καὶ ἀγκύρισμα σκεῦος ἀγρευτικὸν σύκων. Ἀριστοφάνης. ἀγκυλόχειλος : σκολιόχειλος ἐπίθετον τοῦ ἀετοῦ ἐπικαμπεῖς τὸ χεῖλος καὶ τὰς χηλὰς ἔχων. ἐπὶ δὲ Κλέωνος ἀγκύλας τὰς χεῖρας ἔχων πρὸς τὸ κλέπτειν, ἁρπάζειν. ἀγληυκής : καὶ πλεονασμῷ τοῦ ε ἀγλευκής. ἀγλαία : λαμπρότης. ἀγλαΐαις : λαμπρότησιν. ἀγλαόκοιτος : πάνυ τίμιος. ἀγλαότιμον : λαμπρόν, τετιμημένον. ἄγλιδες : αἱ κεφαλαὶ τῶν σκορόδων. Ἀριστοφάνεις „ὡς ἀρουραῖοι πασσείλω τὰς ἄγλιθασ“. ἄγλωσσος : ἄφωνος.

4 ἄγμασι : γκάς μ ασι, τροπαῖς. ἄγνος : φυτὸν ὂν καὶ λύγον. ἁγνός : καθαρός. ἁγνεία : καθαρότης. ἄγνοια : ἀγνωσία. μωρία. εἴ τις λέγει ἄγνοιαν εἶναι στέρησιν ἐπιστήμης, ἁμαρτάνει· ἔστι δὲ ἄγνοια ἕξις μοχθηρὰ καὶ ἠπατημένη. ἁγνότερος πηδαλίου : ἐπὶ τῶν ἁγνῶς βεβιωκότων· παρ' ὅσον ἐν θαλάσσῃ ἐστὶν ἀεὶ τὸ πηδάλιον. ἄγνυται : κλᾶται. ἀγνῦθες : λίθοι τοῦ ἱστοῦ. ἀγνώμων. ἀγνώμονος : ὁ ἀχάριστος. παρὰ Πλάτωνι ὁ ἀμαθὴς. ἀγνωμόνως : ἀνοήτως. ἀχαρίστως. ἀγνώς : ἄγνωστος. ἀγνῶτας : μὴ γινωσκομένους. ἄγομαι : ληστεύομαι. ἁρπάζω. ἄγονος : ἄκαρπος. ἀγοράζω : τὸ ἐν τῇ ἀγορᾷ διατρίβω. ἀγοραία δίκη : ἡ δικαιολογία. ἀγοραῖος : εὐτελής, χυδαῖος. ἀγοραῖοι : οἱ ἐν τῇ ἀγορᾷ ἀναστρεφόμενοι ἄνθρωποι. ἀγόραιος δὲ ἡ ἡμέρα : ἐν ᾗ τις ἀγορὰ γίνεται. ἀγορά : συνάθροισις καὶ ὁ τόπος, ἔνθεν πιπράσκονται τὰ ὤνια· καὶ αὐτὰ τὰ ὤνια. ἀγορὰ Κερκόπων : ἐπὶ τῶν πονηρῶν καὶ κακοηθῶν. Κέρκωπες γάρ τινες ἀπατεῶνες ἐγένοντο ἐν Ἐφέσῳ, οἳ καὶ τὸν Δία ἐξαπατῆσαι πεπείρανται. ἀγορᾶς ὥραν : οὐ τῶν πωλουμένων, ἀλλὰ τῶν ἄλλων πράξεων τῶν κατ' ἀγορὰν ἕωθεν ἢ καὶ πρὶν ἀγορὰν πεπληθέναι. Φερεκράτης „κρατεῖν πίνειν ἀεὶ καὶ μεθύειν πρὶν ἀγορὰν πεπληθέναι“. ἀγορανομίας : λογιστάς. εἴρηται δὲ ἐπὶ τῶν ἐπισκοπούντων τὰ τῶν πόλεων ὤνια. ἀγοστός ; ὀστώδης τόπος. ἀγορηταί : σύμβουλοι.

4b

φρόνιμοι. ἀγκύλη : τὸ ὄπισθεν τοῦ γόνατος ἢ τοῦ ἀγκῶνος ἡ κάμψις. ἄγος : μίασμα. βδελυγμός. ἀγός : ἡγεμών. ἄγουσιν ἑορτῶν οἱ κλέπται : χαριεστάτη ἡ σύνταξις καὶ ἱκανῶς πεπαισμένη κατὰ τὴν κωμῳδικὴν χάριν. σημαίνει δὲ τοὺς ἀδεῶς κλέπτοντας. ἀγραπτότατος βάτος αὖος : ἐπὶ τοῦ σκληροῦ καὶ αὐθάδους τρόπον. ἀγρέμιον : ἀπὸ τοῦ ἄγρας ἀγρέμιον. ἄγριπος : ἀγριελαία. καὶ παροιμία· ἀγρίπου ἀκαρπότερος. ἀγροῖκος : ἰδιώτης. ἀμαθής. ἄγροικος δὲ ὁ ἐν τῷ ἀγρῷ αὐλιζόμενος. ἀγροίκου μὴ καταφρόνει ῥήτορος : ὑποθετικὴ μηδὲ τῶν εὐτελῶν χρὴ καταφρονεῖν. ἄγροικος ὀργήν : ἀκρόχολος. φιλόδικος. Ἀριστοφάνης· „νῦν γὰρ ὁ δεσπότης ἄγροικος ὀργήν.“ λέγεται δὲ καὶ ὁ ἐν τῷ ἀγρῷ αὐλιζόμενος. ἄγραφα ἀδικήματα : οἱονεὶ ὑπὲρ ὧν νόμος οὐ γέγραπται. ἀγριόθυμος : ἄγριος τῇ ψυχῇ. ἄγρειφνα : γεωργικὸν ἐργαλεῖον, δι᾽ οὗ συνάγουσι τὸν χόρτον. ἀγροίτης : ὁ ἀγρός. ἄγριον ὑποβλέπει με : ἀγριφὴς δίκελλα : σκεῦος γεωργικὸν πολύγομφον. ἀγραδίκη : ὠφληκότων τῷ δημοσίῳ γράφουσι τὰ ὀνόματα οἱ περὶ τούτων διοικοῦντες προστιθέντες, ἀνὰ πόσον ἐστὶ τὸ ὄφλημα. ἀγρότης : ὁ ἐν ἀγρῷ διαιτώμενος. ἄγροικος. ἀγρειώτης : ὁ γεωργικὸς λαός· ἐπὶ θηλυκοῦ διὰ τοῦ ι τὸ τις. ἀγρόμιοι : συναθρίζοντες. ἄγροικος ὀργήν : φιλόδικος. ἀκρώχολος. εἰς ὀργὴν εὔκολος. ἀγρῶσται : κυνηγέται. ἀγυιεύς : κίων εἰς ὀξὺ λήγων. ἀγρώσσω : κυρίως τὸ ἀγρεύω ἐπὶ ἰχθύων. Ὅμηρος· ἰχθῦς ἀγρώσσαν. ἀγυιά : ἔνιοι μὲν ὀξύνουσιν. ἄλλοι δὲ περισπῶσιν ἀπὸ τοῦ γιεας. ἀγυιά : ἡ ῥύμη. ἡ ὁδός. ἡ μὴ ἔχουσα ἐπικάμψεις. ἀγυρμός : ἐκκλησία. συναγωγή. ἀγύρτης : πτωχοί. ἐπαίτης. φιλοκερδής. ὀχλαγωγός. ἀγυρτικά : χυδαῖα. ψεκτά. ἀγυρτώδη : συμφρτώδη. συρφετώδη. ἀγρόνομοι : οἱ ἐν ἀγρῷ διάγοντες. Ἀγυόῤῥιος : ὄνομα κύριον. [45]

5 ἄγχαυρος : ὁ παχνώδης ὄρθος. ἄγχι : πλησίον. ἀγχίαλος : ἡ ἐγγὺς τῆς θαλάσσης. ἀγχίθυρος : γείτων. ἀγχίσποροι : ἐγγὺς γένους. ἀγχίμολον : ἐγγὺς ἐλθών. ἀγχίνοια : σύνεσις. ἀγχίνους : συνετός. ἄγχιστα : ἔγγιστα. ἀγχιστήρ : ὁ κοινωνὸς τοῦδε τοῦ πράγματος. ὁ σχεδὸν αὐτὸς ποιήσας ὡς Σοφοκλῆς „ἦ μὴν τὸν ἀγχιστῆρα τοῦδε τοῦ πάθουσ“. ἀγχιστεία : συγγένεια. καὶ ἀγχιστεῖς : οἱ ἀπὸ ἀδελφῶν καὶ ἀνεψιῶν καὶ θείων κατὰ πατέρα καὶ μητέρα ἐγγυτάτω τοῦ τελευτήσαντος. οἱ δὲ ἔξω τούτων συγγενεῖς μόνον. οἱ δὲ κατ᾽ ἐπιγαμίαν μιχθέντες τοῖς οἴκοις οἰκεῖοι λέγονται. καὶ ἀγχιστεία. ἡ μετουσία τῆς οὐσίας. Ἀριστοφάνης. ἀγχιστίδην : τὰ κατ᾽ ἀγχιστείαν ὡς ἀριστίνδην καὶ πλουτίνδην. ἀγχίστροφοι : συκοφάντες ἢ ταχὺ ἐπιστρεφόμενοι. ἀγχιτέρμων : ὁ γείτων ὁρίων. ἀγχοῦ : πλησίον. ἄγχουσα : εἶδος βοτάνης, ἧς ἡ ῥίζα ἐρυθρά. ἀγχούροις : πλησιοχώροις. ἀγών : ὡς περιεκτικὸν κλήνεται. εἰ δὲ τὸν τόπον „λείηναν δὲ χῶρον: καλὸν δ᾽ εὔρυναν ἀγῶνα·“ ἀγὼν καὶ τὸ πλῆθος „αὐτο δ᾽ ἀγών“· καὶ ἡ πρὸς τοὺς ἀγῶνας ἄσκησις. ἀγχώνη : βρόχος. πλιγμονή. ἀγχώμαλον : ἰσόπεδον. ἀγχωμάλου : ἴσης ἐγγὺς ὁμαλοῦ. ἄγχω : πνίγω. ἀγώνιον : τὸ ἀγόμενον βάρος ἐπὶ τῆς ἁμάξης. ἀγωγεῖ : τῷ ἱμάντι, ᾧ ἄγεται ὁ ἵππος. ἀγών, ἀγῶνος : ἡ πρὸς ἀγῶνας ἄσκησις. ἀγωγή : ἀναστροφή. τρόπος. ἢ ἡ κομιδὴ καὶ τὰ ἀγόμενα βάρος. ὡς ἀγωγὴ σίτου ἢ οἴνου. λέγεται καὶ ἡ διὰ τῶν ἠθῶν τοῦ τρόπου κατακόσμησις ὡς λέγεται παίδων ἀγωγή. ἀγώγιμος : ἄγων ἀγόμενος. ἀγωγεύς : ὁ ἐμάγων καὶ ὁ λῶρος τῆς ἀσπίδος καὶ ἱμάς, ᾧ ἄγεται ὁ ἵππος. ἀγωγίμων : φορτίων ἐμπορικῶν. [40]

5b ἀγωγόν : ἐπακτικόν. ἀγωγούς : προπομπούς. ἀγωνάρχαι : βασιλεῖς. ἀγωνία : φόβος ἥττης ἐπὶ τοῦ εἰς ἀγῶνα μέλλοντος ἀποδύεσθαι. ἀγὼν οὐ δέχεται σκήψεις : ἐπὶ τῶν μηδὲν ὀνιναμένων εἰ σκήψαιντο. Ξενοφῶν δὲ ἀγωνίαν τὸν ἐν τῷ ἀγῶνι φόβον λέγει, καταχρηστικῶς δέ. ἀγωνιῶ : κινδυνεύω, φοβοῦμαι. ἀγωνοθέτης : ὁ ἐν τοῖς σκηνικοῖς. ἀθλοθέτης δὲ ὁ ἐν τοῖς γυμνικοῖς. (Ἀ)δαημόνεις : ἄπειροι. ἀδαῆ : ἄπειρον. ὀώσεις : βλέπεις ἢ βλέψεις. [10]

169b (Π)αγανοί : ἀντράτατοι. πάγας : δίκτυα. παγίδας. παγίως : ἀσφαλῶς καὶ πάγιον τὸ ἀσφαλές. παγκάλης : πάνυ καλῆς. παγκρατιαστής : ἀθλητής. πύκτης. παγκράτιον : ἀγών, ἄθλησις διὰ χειρῶν. πάγοι : αἱ ἐξοχαὶ τῶν πετρῶν καὶ τῶν ὀρῶν. πάγον εὐτειχῆ : ἐν ὄρει τετειχισμένην. πάθη : ἡ κάκωσις. παθαίνω · ῥῆμα. παιάν : εἶδος ᾠδῆς. Παιανιεύς : ἐπίθετον τοῦ Δημοσθένους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παιανισμός : ᾠδὴ ἐπὶ ἀπαλλαγῇ κακῶν. παιᾶνας : κώμους. εὐφημίας. παιανίσαι : τὸ Παιᾶνα ἐπικαλεῖσθαι. ἦν δὲ ἔθος ἐπὶ ἔργου ἀρχομένους καὶ ἐπὶ τῇ νίκῃ τοῦτο λέγειν. παιγνία : ἡ ἑορτή. παιδαγωγός : ὁ τοὺς παῖδας ἄγων. παιδαγωγηθεῖσαν πόλιν : ἀντὶ τοῦ ἀχθεῖσαν. παιδάριον : καὶ ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ. παιδεία : ἡ παίδευσις. παιδεύειν : παιδοτροφεῖν. παιδιά : παίγνιον. παιδικά : ἐπὶ θηλειῶν καὶ ἀῤῥένων ἐρωμένων τάττεται ἡ λέξις. παιδικώτερον : ἱλαρώτερον. παιδίσκη : ἡ δούλη, ἡ θεράπαινα.

170 παιδοπολίτης: παιδοκόμων : παῖδα τρέφοντα. παιδομαθῆ : ἐκ παιδὸς ἠσκημένον. παιτρίβας : ἀλείπτας. γυμναστάς. παιδοῦσα : ἐγκύμων. παιδουργία : παιδοποιία. παιδολετῆρα : παιδοφόνον. παίει : τύπτει. παύει : μετριάζει. ἀμελεῖ. Παίων : ὁ τῶν θεῶν ἰατρός. παίονες : ἀλαλαγμοὶ ἐν πολέμῳ. καὶ ἔθνος οἱ Οὔγγαροι. Παιονία : χώρα. παιόλημα : κίνημα. παιπάλη : ἄλευρον ἀπὸ κριθῶν ἢ ἀπὸ κέχρου ἡ παιπάλη. παιπάλημα : τὸ πανοῦργον καὶ ποικίλον ἐν κακίᾳ σὺν ἀγχινοίᾳ. παίπαλον : κατάξηρον. παιπαλόεις : ὁ τραχύς. παῖσαι : τύψαι ἢ παῖξαι Ἀττικῶς. παίσατε : ἀντὶ τοῦ παίξατε. παισθείς : τυπτηθείς. παίτητα : Ῥωμαίων ἴσθι ἡ λέξις· γνώρισμα αἰτήσεως. παιφάσσω : τὸ ὁρμῶ. παιωνίσας : εὐξάμενος καὶ τοῖς θεοῖς χάριν ὁμολογήσας. παιῶνας : ἰατρούς. παιήων : ὁ τῶν θεῶν ἰατρός. λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ ὕμνου. „καλὸν ἀείδοντες παιήωνα, κοῦροι Ἀχαιοί.“ παιώνιον . ἰατρεῖον. θεραπευτήριον. ἢ σωτήριον φάρμακον. παίω : τύπτω. παλάθαι : μᾶζαι σύκων. παλαίτερος : παλαιότερος. παλαιγενής : πρεσβύτατος. πάλαι : ποτὲ. πρῴην. πάλαι ποτ’ ἦσαν ἄλκιμοι Μιλήσιοι : ἐπὶ τῶν πρότερον μὲν εὐδαιμονούντων, ὕστερον δὲ ἀτυχούντων. παλαιστάς : σπιθαμὰς ἢ ἐν πάλῃ ἀνταγωνιστάς. Παλαιστίνη : ὄνομα πόλεως. παλαίστρα : τὸ γυμνάσιον. παλαιὸν : τὸ πρὸ πολλοῦ χρόνου.

170b παλαιφάτου : παλαιὰς καὶ ἀρχαίας, περὶ ἧς ἔφασαν ἔκπαλαι μύθους. παλαμναῖος : φονεὺς ἢ μιαρός. παλαμναῖοι γὰρ λέγονται οἱ διὰ χειρὸς ἀνδροφονοῦντες παρὰ τὴν παλάμνην. καὶ Ζεὺς παλαμναῖος ὁ τοὺς τοιούτους τιμωρούμενος· καὶ προστροπαῖος ὁ προστρέπων ἄγος αὐτοῖς. παλαμᾶσθαι : τεχνάζεσθαι καὶ παλαμάσθω. Παλαμίδης. παλαμωμένων : χερσὶν ἐργαζομένων. παλαμῶν : τεχνῶν ἢ χειρῶν. παλεῦσαι : ἐξαπατῆσαι. ὑπαγαγέσθαι. καὶ παλευτήρια περιστερά. πλάνος. παλλίλογα : παλισύλλεκτα. παλίγκοτος : ἐναντίος. παλίγκυρτος : ἁλιευτικόν. παλιγκάπηλος : μεταπράτης. παλιμβαλής : ὁ ἀνάταυρα πεσών. ὁ ὕπτιος. παλίμβιος : ὁ ἐξ ἀναβιώσεως. παλιμβολία : ἡ εὐμετάβλητος γνώμη. παλίμβολος : ἀδόκιμος. εὐμετάβολος. ἀνελεύθερος. Κλήμης. δύναται καὶ ἀντὶ τοῦ παλίμβολος. ἐναντιόβολος, ἐναντιογνώμων ὡς καὶ παλίνδης ὄνος. παλίμβολον : ἀβέβηλον. ἄπιστον. παλιμποτής : ὀπισθόρμητος. παλίμφημα : δύσφημα. κακά. ἐναντία. παλινάγγελος : ὀπίσω ἐπανελθὼν ἄγγελος. παλινάγρετον : πάλιν καὶ αὖθις ὑστερόπληπτον. παλιναίρετα : τὰ ἀπεσκευασμένα καὶ οἷον ἐπίγνας φασὶ, οὐ καινὰ οὐδὲ ὑγιῆ. παλιδίκει : ἐπισυνάπται δίκην. παλινδικία. παλίνδρομος : ὀπισθόρμητος. παλινδρομῶν : ὑποστρέφων. παλίνοστος : ὀπισθόρμητος καὶ παλινοστῶ τὸ ἐπανέρχομαι. παλινοδία : ἐναντία ὁδός. παλίνορσος : ὀπισθόρμητος. παλιν .... σκοτεινῷ. τὸ γὰρ πάλιν ἐπίτασιν δηλοῖ ὡς παλιγκάπηλος καὶ παλίμπρακτος. παλιντράπελον : ἀντίστροφον.

171 ἐναντίον, ἀντεστραμμένον, παλιντριβής . παλινῳδία : ἐναντία ᾠδή. ἢ τὸ τὰ ἐναντία εἰπεῖν τοῖς προτέροις. παλίνωρον : παλινόρμητον. παλιῤῥόθιον : εἰς τοὐπίσω ἐφορμηκός. Παλλάς : παρθένος μεγάλη. ἔστι δὲ ἐπίθετον τῆς Ἀθηνᾶς ἀπὸ τοῦ πάλλειν τὸ δόρυ. ἢ ἀπὸ τοῦ ἀνῃρηκέναι Πάλαντα ἕνα τῶν Τιτάνων. Παλλάτιον : ὁ Ῥωμαίων βασιλικὸς οἶκος ἀπὸ τοῦ Πάλλαντος. παλλάδιον : ζώδιον μικρὸν ξύλινον. πάλλει : κινεῖ. σείεται. ἅλλεται. Παλληνικὸν βλέπειν : ἀντὶ τοῦ γενναῖον. Παλή δὲ δῆμος τῆς Ἀττικῆς. παλλόμενον : ἁλλόμενον. πληρούμενον. παλλιλογία : ταυτολογία. παλλίλογα : παλισύλλεκτα. παλμός : τρόμος. σεισμὸς περὶ τὴν ψυχὴν. πάλος : κλῆρος. παλτά : τὰ δόρατα. παλτάρια : σεμίδαλις. παλυνομένης : λευκαινομένης. πάμβορον : κάκοσμον. πάμβαξ καὶ παμβρακίς : τὸ παρὰ πολλοῖς λεγόμενον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαμβάκιον. παμμάχιον : παγκράτιον. παμμήτορα : πάντων τεχνίτην. παμμωνί : πολυκτήμων. πάμπαν : ἀντὶ τοῦ παντελῶς. παμποσίαν : παντελῶς. παμπησίαν : πᾶσαν τὴν κτῆσιν. παμπήδην : παντελῶς. παμφαής : ἡ πᾶσι φαίνουσα φαιδρότης. πάμφορος : παντοῖα φέρων. πάμψυχος : ὁ Ἀμφιάραος, ὅτι πάσης ψυχῆς ἀνάσσει ἐν Ἅιδου. ἢ ὁ διασώσας πᾶσαν τὴν ἑαυτοῦ ψυχήν. ἢ ὁ διὰ παντὸς τὴν ψυχὴν σώζων, ὅ ἐστιν ἀθάνατος. παναγές : καθαρόν. ἄγος γὰρ καὶ ἄγνοια καὶ μῦσος κατὰ ἀντίφρασιν. Παναθήναια : Ἀθήνησιν ἑορτὴ ἐπὶ τῷ ὑπὸ Θησέως γενομένῳ συνοικισμῷ πρῶτον ὑπὸ Ἐριχθονίου τοῦ Ἡφαίστου καὶ τῆς Ἀθηνᾶς, ὕστερον καὶ ὑπὸ Θησέως συναγαγόντος τοὺς δήμους εἰς ἄστυ.

171b λέγεται δὲ ὁ ἀγὼν διὰ ε′ ἐτῶν. καὶ ἀγωνίζεται παῖς Ἴσθμια οὐ πρεσβύτερος καὶ ἀγένειος καὶ ἀνήρ. τῷ δὲ νικῶντι δίδοται ἆθλον ἔλαιον ἀμφορεῦσι. καὶ ὁ νικῶν στεφανοῦται ἐλαίᾳ πλεκτῇ. πανάκεια : θεραπεία. παναλκές : ἰσχυρότατον. πανάνυτον : πάντα δυνατόν. πανάπυστος : ἀνήκοος. παναρκέος : τοῦ μεγάλου καὶ δυνατοῦ. „ἠλίου δὲ παναρκέοσ“ τοῦ πανταχῆ λάμποντος. παναρμόνιον : πάντοθεν ἡρμοσμένον. παναρμόνιον : ἐξ ὅλου τεταγμένον. ἁρμονία γὰρ ἡ εὔτακτος ἀκολουθία. παναυγές : πάνυ λαμπρόν. παναύριος : πρὸ τῆς ὥρας. πανδαισία : πολυτελὴς τράπεζα, εὐωχία. πανδαίσιον : πολυτελὴς τράπεζα. πανδαμάτωρ : πάντας ὑποτάσσων. Πανδιονίς : ἡ χελιδών. πανδερκής : ὁ τὰ πάντα ὁρῶν. πανήγυρις : συνάθροισις. πανημερίους : πάσῃ ἡμέρα. πανδημεί : παντὸς τοῦ πλήθους. πανδήμου : παντὸς τοῦ πλήθους ἢ παντὸς τοῦ δημώδους καὶ ἀγελαίου ὄχλου. πανδοκεύτρια : καπηλὶς ἀπὸ τοῦ τοὺς πάντας δέχεσθαι. παννύχιον : ὅλην τὴν νύκτα. πανομφαίῳ : ᾧ πᾶσα φήμη καὶ μαντεία ἀναφαίνεται. πανόπτος : πολυόφθαλμος. Πάνθειον: τόπος. παν.... : ἡ διὰ τῶν ὀσπρίων μῖξις. πανοῦργος : ὁ πάντα ἐν πονηρίᾳ ἐργαζόμενος. λέγεται δὲ καὶ ὁ πάνυ φρόνιμος καὶ ὁ πάντα ἐπιστάμενος. πανσθενέστατον : ἰσχυρότατον.

172 πανσπερμία : παγκαρπία. πάντα θεῖν ἐλαύνετα : παροιμία ἐπὶ τῶν εὐπόρων. πάντα καλὰ σείειν : παροιμία ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. παρῆκται δὲ ἀπὸ τῶν ἄρμενα χαλώντων. πάντα λίθον κινεῖν : Πολυκράτῃ τῷ Θηβαίῳ χρησμὸς ἐξέπεσε πριαμένῳ τόπῳ, ἔνθα Μαρδώνιος ἐσκήνωσεν, ὅτε Πέρσαι ἔφυγον καὶ εὗρε χρυσόν. ὁ δὲ εἰρῆσθαί φασιν ἀπὸ τῶν τοὺς 〈καρκίνουσ〉 θηρευόντων. πάντα ὀκτώ : οἱ μὲν Στησίχορόν φασιν ἐν Κατάνῃ ταφῆναι πολυτελῶς πρὸς ταῖς ἀπ' αὐτοῦ Στησιχορείαις πύλαις λεγομέναις καὶ τοῦ μνημείου ἔχοντος ὀκτὼ κίονας καὶ ὀκτὼ βασμοὺς καὶ ὀκτὼ γωνίας. οἱ δέ, ὅτι Ἀλύτης κατὰ χρησμὸν τοὺς Κορινθίους συνοικίζων ὀκτὼ φυλὰς ἐποίησε τοὺς πολίτας καὶ ὀκτὼ μέρη τὴν πόλιν. παντάπασιν : παντελῶς. πανταχῆ : πάντα τρόπον. πανταχοῦ, ἐν παντὶ τόπῳ. καὶ πανταχόθι. πανταχοῖ δὲ καὶ πανταχόσε· εἰς πάντα τόπον παντελείαν : ὁλόκληρον καὶ παντελῆ. παντευχία : πανοπλία. παντὸς μᾶλλον : ἀντὶ τοῦ παντός. παντί τῳ : παντί τινι. παντοδαής : πάντα εἰδώς. παντοδαπά : παντοῖα. παντοῖος : παντοδαπός, ποικίλος. πάντοσε: πανταχοῦ. πάντοτε ἴσην : πανταχόθεν ἴσην. κυκλοτερῆ. παντουργῷ : πάντα πράττοντι. πάνυ : λίαν. πανώλης : πανόλεθρος. πασπάζοιεν : παρακαλοῖεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org